# Epistula ad Epiphanium

Καὶ Ἀθανάσιος δὲ ὁ μέγας τῆς Ἀλεξανδρέων Ἐκκλησίας φωστὴρ, ἐν τῇ μνημονευθείσῃ πρὸς Ἐπιφάνιον ἐπίσκοπον ἐπιστολῇ διδάσκει λέγων οὕτως· Οὐκοῦν ὥσπερ συνήθλησας, καὶ συνεχάρης, οὕτω καὶ τοῦ μέμφεσθαι παῦσαι· καὶ μᾶλλον εὔχου ἵνα τοῦ λοιποῦ ἡ μὲν Ἐκκλησία βεβαίαν τὴν εἰρήνην ἔχῃ, καὶ παύσωνται αἱ αἱρέσεις τῆς μιαιφόνου προαιρέσεως· παύσωνται δὲ καὶ οὗτοι φιλονεικοῦντες, οἱ ἐφευρόντες ἑαυτοῖς ζητήματα, προφάσει μὲν τοῦ σωτηριώδους Πάσχα, ἔργῳ δὲ τῆς ἰδίας ἔριδος χάριν μάλιστα· ὅτι, ἐξ ἡμῶν εἶναι δοκοῦντες καὶ Χριστιανοὶ αὐχοῦντες λέγεσθαι, ζηλοῦσι τούτων προδεδωκότων Ἰουδαίων. Ὁποία γὰρ αὐτοῖς καὶ πιθανὴ ἀπολογία γένοιτ' ἂν ἄρα ἐπειδὴ γέγραπται· Τῇ δὲ πρώτῃ τῶν Ἀζύμων, 26.1260 καὶ ἐν ᾗ ἔδει θύειν τὸ Πάσχα. Ἀλλὰ ἐγίνετο τότε καλῶς· νυνὶ, κατὰ τὸ γεγραμμένον· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ. 26.1240 Τῆς ὁμοιώσεως τοῦ Κυρίου τῆς πρὸς ἡμᾶς ἡ ὠφέλεια μεγάλη, ὅτι καὶ ἡμεῖς ὁμοιούμεθα πρὸς αὐτόν. Εἰ γὰρ μὴ αὐτὸς ὡμοίωτο πρὸς ἀνθρώπους, οὐκ ἠδύναντο οἱ ἄνθρωποι ὁμοιοῦσθαι πρὸς Θεόν. Ἀλλὰ


Ερευνητικό έργο: ΔΡΟΜΟΙ ΤΗΣ ΠΙΣΤΗΣ – ΨΗΦΙΑΚΗ ΠΑΤΡΟΛΟΓΙΑ.
Χρηματοδότηση: ΚΠ Interreg IIIA (ΕΤΠΑ 75%, Εθν. πόροι 25%).
Εργαστήριο Διαχείρισης Πολιτισμικής Κληρονομιάς, www.aegean.gr/culturaltec/chmlab.
Πανεπιστήμιο Αιγαίου, Τμήμα Πολιτισμικής Τεχνολογίας και Επικοινωνίας, © 2006.
Επιτρέπεται η ελεύθερη χρήση του υλικού με αναφορά στην πηγή προέλευσής του.